πρεσβύτεροι πόλεως καὶ πόλεως καὶ κριταὶ τοῦ ἀποστρέψαι ὀργὴν
θυμοῦ θεοῦ ἡμῶν ἐξ ἡμῶν περὶ τοῦ ῥήματος τούτου. [15]πλὴν Ιω- 15
ναθαν υἱὸς Ασαηλ καὶ Ιαζια υἱὸς Θεκουε μετ' ἐμοῦ περὶ τούτου,
καὶ Μεσουλαμ καὶ Σαβαθαι ὁ Λευίτης βοηθῶν αὐτοῖς. [16]καὶ ἐποί- 16
ησαν οὕτως υἱοὶ τῆς ἀποικίας. καὶ διεστάλησαν Εσδρας ὁ ἱερεὺς
καὶ ἄνδρες ἄρχοντες πατριῶν τῷ οἴκῳ καὶ πάντες ἐν ὀνόμασιν,
ὅτι ἐπέστρεψαν ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ δεκάτου ἐκζητῆσαι
τὸ ῥῆμα. [17]καὶ ἐτέλεσαν ἐν πᾶσιν ἀνδράσιν, οἳ ἐκάθισαν γυναῖκας 17
ἀλλοτρίας, ἕως ἡμέρας μιᾶς τοῦ μηνὸς τοῦ πρώτου.
[18]Καὶ εὑρέθησαν ἀπὸ υἱῶν τῶν ἱερέων οἳ ἐκάθισαν γυναῖκας 18
ἀλλοτρίας· ἀπὸ υἱῶν Ἰησοῦ υἱοῦ Ιωσεδεκ καὶ ἀδελφοὶ αὐτοῦ Μα-
ασηα καὶ Ελιεζερ καὶ Ιαριβ καὶ Γαδαλια, [19]καὶ ἔδωκαν χεῖρα αὐτῶν 19
τοῦ ἐξενέγκαι γυναῖκας αὐτῶν καὶ πλημμελείας κριὸν ἐκ προβάτων
περὶ πλημμελήσεως αὐτῶν· [20]καὶ ἀπὸ υἱῶν Εμμηρ Ανανι καὶ Ζα- 20
βδια· [21]καὶ ἀπὸ υἱῶν Ηραμ Μασαια καὶ Ελια καὶ Σαμαια καὶ Ιιηλ 21
καὶ Οζια· [22]καὶ ἀπὸ υἱῶν Φασουρ Ελιωηναι, Μαασαια καὶ Ισμαηλ 22
καὶ Ναθαναηλ καὶ Ιωζαβαδ καὶ Ηλασα. — [23]καὶ ἀπὸ τῶν Λευιτῶν· 23
Ιωζαβαδ καὶ Σαμου καὶ Κωλια (αὐτὸς Κωλιτας) καὶ Φαθαια καὶ
Ιοδομ καὶ Ελιεζερ· [24]καὶ ἀπὸ τῶν ᾀδόντων Ελισαφ· καὶ ἀπὸ τῶν 24
πυλωρῶν Σελλημ καὶ Τελημ καὶ Ωδουε. — [25]καὶ ἀπὸ Ισραηλ· ἀπὸ 25
υἱῶν Φορος Ραμια καὶ Ιαζια καὶ Μελχια καὶ Μεαμιν καὶ Ελεαζαρ
καὶ Ασαβια καὶ Βαναια· [26]καὶ ἀπὸ υἱῶν Ηλαμ Μαθανια καὶ Ζαχα- 26
ρια καὶ Ιαϊηλ καὶ Αβδια καὶ Ιαριμωθ καὶ Ηλια· [27]καὶ ἀπὸ υἱῶν 27

14 θυμου > A || 15 ασαηλ] ασηλ B†, σαηλ S† | ιαζια Ra.] λαζεια BS†, ιαζιας A: cf. 25 | θεκουε] ελκεια BS† | μεσουλαμ BS†] μετασολλαμ A†, μεσολλαμ rel.: cf. 8 16 | σαβαθαι BS†] σαββαθαι pl., καββαθαι A† || 16 υιοι] pr. οι A | διεσταλησαν] -στ(ε)ιλεν $S^c$*L*† | και ανδρες αρχ.] αρχοντας $S^c$*L*† | τω οικω] των οικων A, τω οικων (sic) S*† | εν $1^0$] επ $AS^c$ | μια > B† | δεκατου] pr. δω $S^c$*L*† || 17 αλλοτρ. ⌒ 18 αλλοτρ. S† || 18 ευρεθη B† | υιων $1^0$] pr. των $S^c$*L*† | εκαθισαν] ελαβον $S^c$*L*†: cf. 2 | αδελφοι] pr. οι S*L*† | μαασηα S† (cf. 30)] μαασηλ codex unus codici B cognatus: cf. 13 23; μεεσσηλ B†; μαασηια A | ιαριβ] -ρειμ B, ιωρειμ S† | γαλαδεια SV†, γαλαδαιας *L*† || 19 αυτων $1^0$ ⌒ $3^0$ S† || 20 αμμηρ S† | αναν(ε)ι BS†] ανανια rel. (*L* -ιας) || 21 μασαια Ra.] -σαηλ BS(†), -σειας A | ι(ε)ιηλ A] ιεηλ BS: cf. 2 || 22 ελιωνα BS†: cf. 27 | μαασαια BSV†] -σια A | ισμαηλ] σαμ. B†, σαμαιηλ S† || 23 των] + υιων των $S^c$*L*† | σαμουδ S† | κωλ(ε)ια] κωλαα A† | κωλιτας] -ιευ BS† | φαθαια Ra. (cf. I 9 23)] φαδαια BV†, φααια S†, φεθεια A | ιοδομ B†] ιεδ. S†, ναδ. V†, ιουδας rel. | ελιαζαρ S† || 24 αδοντων] ωδων $S^c$*L*† | σελλημ *L*†] γελλημ B†, γαιλλειμ S†, σολλημ AV† | τελημ B†] τελλημ SAV*L*† | ωδουε] -ουθ BS†, -ους V†, ουριας *L*† || 25 φορος] φαρες $S^c$*L*†: cf. 2 3 | ιαζια Ra.] αζ(ε)ια BA, αδεια S†, ιαζιας *L*†: cf. 15 | μεαμιν Sixt.] -μιμ A, αμαμειν BS† | ελεαζα A† | και ασαβια(S† σαβ.)] > B† | μαναια S† || 26 μαθανια BS†] μαθθ. A: cf. 30. 33. 37 21 17 22 35 23 13 | και $2^0$ > B† | ια(ε)ιηλ] ιαηλ B†, αιειηλ A†, ιειηλ *L*†: cf. 2 | ιαριμωθ] -μοιθ B†, ιερ. A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/973 UNIVERSITÄT LEIPZIG